Εὐρι. Οὔκουν Ὀρέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει,
Τῷ τοῦ πατρὸς τεθνεῶτος. Αἰσχ. οὐκ ἄλλως λέγω.
Εὐριπ. Πότερ' οὖν τὸν Ερμῆν, ὡς ὁ πατὴρ ἀπώλετο
Αὐτοῦ, βιαίως ἐκ γυναικείας χερὸς,
Δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;
Αἰ. Οὐ δῆτ' ἐκεῖνον, ἀλλὰ τὸν Εριούνιον,
Ερμῆν χθόνιον προσεῖπε, κἀδήλου λέγων,
Οτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.
Εὐριπ. Ετι μεῖζον ἐξήμαρτες, ἢ 'γὼ βουλόμην.
Εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας.
Δι. Οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
Αἰ. Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
Δι. Λέγ' ἕτερον αὐτῷ. σὺ δ' ἐπιτήρει τὸ βλάβος.
Αἰ. Σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.
Ηκω γὰρ εἰς γῆν τήνδε, καὶ κατέρχομαι.
Εὐριπ. Δὶς ταὐτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
Δι. Πῶς δίς; Εὐριπ. σκόπει τὸ ῥῆμ', ἐγὼ δέ σοι φράσω.
Ηκω γὰρ ἐς γῆν φησι, καὶ κατέρχομαι.
Ηκειν δὲ ταὐτόν ἐστι τῷ κατέρχομαι.
Δι. Νὴ τὸν Δί', ὥσπερ γ' εἴ τις εἴποι γείτονι,
Χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει κάρδοπον.
Αἰ. Οὐ δῆτα τοῦτό γ', ὦ κατεστωμυλμένε,
Ανθρωπε ταύτῃ 'σ' ἀλλ' ἑτέρως ἔχον.
Εὐριπ. Πῶς δή. δίδαξον γάρ με καθ' ὅτι δὴ λέγεις.

A *EV. An non Oreſtes hæc dicit, tumulo inſidens*
Patris demortui? ÆS. *haud aliter.* EV. *vtrum ne ait*
Mercurium ibi inſpectare, quomodo pater
Violenta morte, clanculum & dolo malo
Occiſus fuerit à Clytemneſtræ manu?
ÆS. *Nequaquam hunc Mercurium, ſed illum Eriunium*
B *Terrenum alloquitur: & hoc declarat inquiens,*
Quòd hoc paternum adeptus ſit munus. EV. *ſed hoc*
Multò plus iam peccaſti, quàm volebam ego:
Siquidem paternum munus, terrenum obtinet.
BA. *At ſic tumulorum ſuffoſſor eſſet à patre.*
ÆS. *Dionyſe florem vini veteris haud bibis.*
BA. *Dic aliud illi: tu verò obſerua malum.*
ÆS. *Serua me, & adiutor petenti ſis mihi,*
C *Nam venio & deſcendo modò, in hanc terram redux.*
EV. *Bis idem nobis ſapiens hic dixit Æſchylus.*
BA. *Quomodo bis?* EV. *obſerua verbum: ego dicam tibi.*
Nam venio, & deſcendo modò in hanc terram, ait: Idem
Venire eſt in terram, quod eſt deſcendere.
D BA. *Ita per Iouem: ac ſi quis vicino dixerit:*
Da mihi mactram, aut ſi lubet, arcam panariam.
ÆS. *Minimè, tu blaterator nugaciſſime:*
Nam hæc non ſunt eadem, ſed diuerſa maximè.
EV. *Quomodo? doce me, vt, quid dicas, intelligam.*

Σχόλια. Οὐ δῆτ' ἐκεῖνον.] τὸν δόλιον δηλονότι. ἀλλὰ τὸν Εριούνιον. πρὸς τὴν ἐκδοχὴν τοῦ Εριουνίου. ὅτι οὐκ ὀρθῶς. Ἀρίσταρχος δέ φησι τῶν ἐξηγήσεων τοῦ στίχου τὴν προτέραν, κατὰ τὸν ποιητὴν εἶναι. ἣν ὁ Εὐριπίδης ἔφη. τὰ τοῦ ἐμοῦ πατρὸς κράτη ἐποπτεύων. ὃς κρατηθεὶς ὑπὸ τῶν περὶ Αἴγισθον ἀπώλετο.

BISETVS. Τὸν Εριούνιον] Εὐστάθιος. Εριούνιος Ερμῆς, ὁ λίαν ὠφελῶν. παρὰ τὸ ἔρι ἐπιτατικὸν, καὶ τὸ ὀνῶ, τὸ ὠφελῶ. ἢ ὁ χθόνιος παρὰ τὴν ἔραν, εἴτε γῆν. σημείωσαι δὲ ὅτι Εριουνὴς μὲν παρ' ἑτέροις, Εριούνιος δὲ παρ' Ομήρῳ λέγεται. χθόνιος δὲ Ερμῆς, ἢ ὁ καταχθόνιος, εἴτε κατὰ τὴν χθόνα στρεφόμενος, ὡς θεῶν ἄγγελος, ἵνα τὰς αὐτῶν ἐντολὰς τοῖς ἀνθρώποις ἀγγείλῃ, διὸ καὶ διάκτωρ, καὶ διάκτορος καὶ κῆρυξ θεῶν καλεῖται. ἢ καὶ χθόνιος, ὁ καταχθόνιος, ἤγουν ὁ κατὰ τῆς χθονὸς, εἰς Αδου τὰς τῶν θανόντων ψυχὰς προπέμπων. διὸ καὶ ψυχοπομπὸς λέγεται. οὐ μόνον δὲ τὰς ψυχὰς εἰς Αδου κατάγειν, ἀλλὰ καὶ ἐκεῖθεν πρὸς τὸ φῶς ἀνάγειν νομίζεται. Ομηρος Οδ. Ω.

Ερμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
Ανδρῶν μνηστήρων. ἔχε δὲ ῥάβδον μετὰ χερσὶν
Καλὴν, χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ων ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
Καὶ τὰ ἑξῆς.

Σχόλια. Τοῦτο κέκτηται.] τὸ εἶναι χθόνιον ὡς νῦν ὁ πατήρ. ἢ τὸ ἐποπτεύειν τὰ καταχθόνια. Οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.] ἀντὶ τυμβωρύχου πατρός. ἐπεὶ ὁ
E χθόνιος λέγεται μὲν καὶ ὁ γήϊνος. λέγεται δὲ καὶ ὁ ὑπὸ γῆν. τὰ δ' ὑπὸ γῆν οἱ κλέπται ζητοῦσι. τοῦτο δὲ ὁ Διόνυσος λέγει, ὑποτεμνόμενος τὸν Εὐριπίδου λόγον, διὰ τὸ ὑπερσπεύδειν, ὡς Ἀρίσταρχός φησιν. οὕτω γὰρ εἰκότως Αἰσχύλος ἐπήγαγε, Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν. Διόνυσε πίνεις οἶνον.] ὅτι κραιπαλᾷς ἱκανῶς καὶ ληρεῖς, σκληρὸν οἶνον πιὼν, ἀλλ' οὐχ ἡδὺν, οὐδὲ ἁπαλόν. ὅτι μεθύεις. ἵνα μὴ κατ' ἐρώτησιν λέγῃ, ἀλλ' ἐν ἀποφάσει. ἀνθοσμίας δὲ ὁ εὐώδης, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς. καὶ γέγονε παράγωγον
F ἀνθόσμιος καὶ ἀνθοσμίας· ἢ οὕτως, ἃ οὐκ ἀποδέχῃ ἀκούεις, φληνάφους φημὶ καὶ λόγους ἀπρεπεῖς. Σὺ δ' ἐπιτήρει τὸ βλάβος.] ὧν βλάψεις αὐτὸν ἐν τῇ κατηγορίᾳ ἢ τὸ ἁμάρτημα. Μάκτραν, εἰ δὲ βούλει κάρδοπον] εἴρηται ἐν τοῖς πρόσθεν, ὅτι τοῦτο ἀρχαιότερόν ἐστι. τὸ τὰς μεταλήψεις τῶν λέξεων τῶν ἰσοδυναμουσῶν ἐπιτηδεύειν. Πλάτων ποιητής. ὁρᾶτε τὸ διῆρες ὑπερῷον. ὡς τὸ παρ' Ομήρῳ, Εκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης. Εκτ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ. καὶ τὸ μηκέτι
G παῖδε φίλω πολεμίζετε μηδὲ μάχεσθον, πρὸς Εκτορα καὶ Αἴαντα μονομαχοῦντας ὑπὸ τοῦ ἰδαίου κήρυκος εἰρημένον. καὶ τὸ, Μνηστῆρες δ' ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε ἤρτυον. καὶ τὸ, Βάσκ' ἴθι οὖλε Ονειρε. καὶ Βάσκ' ἴθι Ιρι ταχεῖα.

BISETVS. Ταύτῃ 'στ', ἀλλ' ἑτέρως.] ἔν τισι τῶν παλαιῶν ἀντιγράφων γέγραπται, ταὔτ' ἔστ' ἀλλ' ἄριστ' ἐπῶν ἔχον. ἀλλὰ βέλτιον καὶ τοῦ νοῦ, καὶ τοῦ μέτρου χάριν οὕτω γράφειν, Ταύτῃ γ' ἐστὶν, ἀλλ' ἑτέρως ἔχον.